# De deitate filii et spiritus sancti

## ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ ΛΟΓΟΣ

Δώδεκα συλλογισμῶν, ὅτι τὸ κακὸν, φθαρτὸν καὶ γεννητὸν καὶ ἀνύπαρκτον, καὶ ὁ τούτου δὲ πατὴρ διάβολος οὐκ ἀγέννητος.

Εἴ τι ἂν κακὸν, κολαστέον· οὐδὲν δὲ κολαζόμενον ἄφθαρτον. Οὐδὲν ἄρα κακὸν ἄφθαρτον. Οὐδὲν φθαρτὸν ἀγέννητον· ἔστι δὲ τὸ κακὸν φθαρτόν. Τὸ ἄρα κακὸν οὐκ ἀγέννητον. Οὐδὲν κατ' οὐσίαν κακόν· τῷ τὸ κακὸν ποιὸν εἶναι. Οὐδὲν δὲ ποιὸν οὐσία. Τὸ ἄρα κακὸν οὐκ οὐσία. Πάντα τὰ ἐναντία ἀλλήλων φθαρτά· τὰ δὲ ἀγέννητα ὄντα οὐ φθαρτά. Τὰ ἄρα ἐναντία οὐκ ἄφθαρτα. Οὐδὲν ἀγέννητον τρεπτόν· τρέπεται δὲ τὸ ἀγαθὸν κρατηθὲν ὑπὸ τοῦ κακοῦ. Τὸ ἄρα ἀγαθὸν οὐκ ἀγέννητον. Τὸ ἀγέννητον οὐκ ἔστιν ὀρεκτικὸν φθορᾶς τινος, οὐδέ γε φθαρτικόν· τὸ δέ γε κακὸν ὀρεκτικὸν φθορᾶς. Τὸ ἄρα κακὸν οὐκ ἀγέννητον. Αἱ θεῖαι Γραφαὶ ταῖς κολάσεσι παραδίδοσθαι οὐ τοὺς ἄλλους μόνους κακοὺς, ἀλλὰ καὶ αὐτὸν τὸν διάβολον λέγουσι· πᾶν δὲ τὸ κολάσει παραδιδόμενον τρεπτόν· οὐδὲν δὲ τρεπτὸν ἀγέννητον. Οὐδὲν ἄρα τῶν κακῶν ἀγέννητον. Τῶν δι' ὅλου ἐναντιουμένων, οὐδὲν κοινόν.

Ὥστε πᾶσα ἀνάγκη τὸ ἀγαθὸν ὑπάρχει, μὴ ὂν ἄρα τὸ κακόν. Πᾶς ὁ εὐλόγως ὀρεγόμενός τινος ἐπιτετευγμένην ἔχει τὴν ὄρεξιν, ᾗ εὐλόγως ὀρέγεται· τῶν φθαρτῶν ἄρα ἐστὶν ἡ κακία· τῶν φθαρτῶν οὖσα ἀφανισθήσεται. Ἀφανιζομένη δὲ, οὐκ ἔστιν ἀγέννητος. Ἀγέννητον τὸ κακὸν, κατὰ φύσιν αὐτῷ ὑπάρχει τὸ κακὸν εἶναι. Οὐδεὶς δὲ κατὰ φύσιν ἐνεργῶν ἁμαρτάνει· τὸ ἄρα ἀγέννητον οὐχ ἁμαρτάνει. Τὸ μὴ ἁμαρτάνον οὐχ ὑπαίτιον· ὑπαίτιος δὲ ὁ Σατανᾶς. Οὐκ ἄρα ἀγέννητον.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.